τὴν φύσιν ὑπάρχοντι, ἄσηπτα μέχρι πλείστου διαμένει πάντα· σήπεται δ' ἑτοίμως ἐν νοτίαις καταστάσεσιν. ἔστι γὰρ οὖν καὶ οὗτος ὁ ἄνεμος ὑγρὸς καὶ θερμός.

Ὥστε πᾶν τοὐναντίον ἡμεῖς ἀποφαινόμεθα τοῖς ὑγρὸν καὶ θερμὸν ὑπολαμβάνουσιν εἶναι τὸ ἔαρ. οὔτε γὰρ τοιοῦτόν ἐστιν οὔθ' ὑγιεινὸν ἂν ἦν, εἴπερ ἦν τοιοῦτον. οἱ δὲ καὶ τοιοῦτον εἶναί φασιν αὐτὸ καὶ διὰ τοῦθ' ὑπάρχειν ὑγιεινόν, ἐν ἀμφοτέροις ἁμαρτάνοντες, ὅσα τε ταῖς αἰσθήσεσιν ἔνεστι διαγνῶναι καὶ ὅσα τῷ λόγῳ διασκέψασθαι. ταῖς μὲν γὰρ αἰσθήσεσιν ἔνεστιν ἐναργῶς μαθεῖν εὔκρατον ἀκριβῶς αὐτό, τῷ λόγῳ δ' ἐξευρεῖν, ὡς διὰ τοῦτ' ἐστὶν ὑγιεινόν, διότι μηδὲν ἐπικρατεῖ τῶν τεττάρων. εἰ δέ γ' ἤτοι τὸ θερμὸν ἐπεκράτει πολλῷ τοῦ ψυχροῦ ἢ τὸ ὑγρὸν τοῦ ξηροῦ, σηπεδόνων τ' ἂν ἦν εὔφορον οὕτω καὶ πασῶν τῶν ὡρῶν
534 | νοσωδέστατον. ἀλλ' ἡ τῆς τῶν τεττάρων κράσεως ἰσομοιρία τῆς τ' εὐκρασίας αὐτοῦ καὶ τῆς ὑγιείας αἰτία. πόθεν οὖν ἐπῆλθέ τισιν ἰατροῖς τε καὶ φιλοσόφοις ὑγρὸν καὶ θερμὸν ἀποφήνασθαι τὸ ἔαρ; ἐκ τοῦ βουληθῆναι δηλονότι τὰς τέτταρας συζυγίας τῶν κράσεων εἰς τὰς τέτταρας ὥρας διανεῖμαι. τοῦτο δ' αὐτὸ πάλιν ἐκ τοῦ παραλιπεῖν τὴν πρώτην ἁπασῶν, τὴν εὔκρατον, ἐγένετο. καὶ γὰρ οὖν καὶ διαιτημάτων καὶ φαρμάκων ἁπάντων τε τῶν ὄντων εἰς τὰς τέτταρας ταύτας συζυγίας ἀνάγουσι τὰς διαφοράς.

Cap. V. Ὧι καὶ δῆλον, εἰς ὅσον οἱ περὶ φύσεως λογισμοὶ σφαλέντες τῆς ἀληθείας εἰς τὰς ἰάσεις βλάπτουσι καὶ βέλτιόν ἐστι δυοῖν θάτερον, ἢ μηδ' ὅλως ἅπτεσθαι τῶν τοιούτων λόγων, ἀλλ' ἐπιτρέψαι τῇ πείρᾳ τὸ πᾶν, ἢ πρότερον ἐν τῇ λογικῇ θεωρίᾳ γυμνάσασθαι. τὸ δὲ μήτε τῇ πείρᾳ προσέχειν τὸν νοῦν ἐπιχειρεῖν τε θεωρίᾳ φυσικῇ πρὸ

---

1 φύσιν] κρᾶσιν L ‖ πλείστου LMO πολλοῦ V ‖ 2 ἐν νοτίαις LMV ταῖς νοτ. O ‖ δὴ pro οὖν M ‖ οὖν καὶ om. L ‖ 3 θερμὸς κ. ὑγρ. L ‖ 6 δέ γε MOV ‖ 7 ὑπάρχειν ὑγ. LMV ὑγ. ὑπ. O ‖ 12 μηδὲν (μηδὲ L) ἐπικρ. τ. τεσσάρων LMV μηδὲν ἐν αὐτῷ τ. τ. ἐπικρ. O ‖ 14 τ' om. MV ‖ εἴη M ‖ δὲ add. post οὕτω LV ‖ 15 νοσωδέστερον L ‖ κράσεως O κράσεων cett. ‖ 16 ὡς add. ante καὶ L ‖ 17 ὑγρόν τε καὶ M ‖ 21 τοιγαροῦν pro καὶ γ. οὖν M ‖ 24 post φύσεως add. ἀνθρώπου O om. LMV